εὐμάθειαν τὴν ἐν τοῖς θείοις ἐπανθοῦσαν ἀπὸ ὅ,τι συμβάλλουσι καὶ πρὸς ψυχικὴν ὠφέλειαν τῶν ἁπλουστέρων, εἰς χάριν τῶν ὁποίων ἔγινε καὶ εἰς ἁπλῆν διάλεκτον ὅλον τὸ σύγγραμμα.

Ἔρρωσθε οἱ ἀναγινώσκοντες καὶ μέμνησθε, δέομαι, ἐν ταῖς προσευχαῖς ὑμῶν τῆς ψυχῆς τοῦ δούλου ὑμῶν καὶ ἀδελφοῦ Νικολάου.

Feuillet 10 :

Τῷ ξυγγραφεῖ τῆς βίβλου κυρίῳ κυρίῳ
Νικολάῳ Βούλγαρι, τῷ Κερκυραίῳ,
φιλοσοφίας τε καὶ ἰατρικῆς διδασκάλῳ ἐξοχωτάτῳ,
ἐλογεῖον.

Αἰνέσατε, Μοῦσαι, Νικόλαον,
Κερκύρας γέννημα, Ἰταλίας θρέμμα, Ἑλλάδος καύχημα·
ἄνδρα φερώνυμον νίκης, ὁμοφυῆ ἀρετῆς,
οὗπερ τῇ εὐγλωττίᾳ
τὸν μελίρρυτον Ὀδυσσέα ναυαγήσαντα σῶσαι
αὖθις σεμνύνεται Κέρκυρα,
τρόφιμον τῆς οἰκίας ἐκείνης,
ἥπερ ὁπόσους ἐξήνεγκεν υἱούς,
τοσούτους ἐξέθαλε τῇ ἐνεγκούσῃ πατέρας·
ἄνδρα οὕτω μὲν εὐπρόσφορον
ἐν τῇ Ῥωμαίων, ἔν τε Ἑλλήνων φωνῇ,
ὥστε ἀντὶ φήμης ὑπάρχειν τὴν ἀρετὴν
οὖσαν ἐξ ἑαυτῆς ποικιλόγλωσσον·
ἄνδρα οὕτω ἀμφὶ τὰ θεολογίας παιδευθέντα,
ὥστε τῇ τοῦ νοὸς ἀγχινοίᾳ,
Μακεδόνος δίκην, κατακόπτειν πᾶν ἅμμα·
οὕτω κήδιστον φιλοσοφίας συνόμιλον,
ὥστε αὐτὸν οὐδὲν τῶν ἐκείνης ἀπορρήτων λανθάνειν·
ἀκέστορα οὕτως ἀκριβῆ τὸ παράπαν,
ὥστε τὴν τούτου ζωὴν
ἔμπνουν ὑπάρχειν τοῖς Κερκυραίοις ἀλεξιτήριον·
τὴν τούτου φωνὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ